Permalink: http://gams.uni-graz.at/o:ethnos.143

# D.S. 5,61,1-3

| | |
|---|---|
| Title | Bibliotheca historica |
| Author | Diodorus Siculus |
| Date | 1st Cen.B.C. |
| Original text | ἐνταῦθα δὲ καθαρθέντα τὸν φόνον ὑπὸ Μελισσέως τοῦ βασιλέως εἰς τὴν Θετταλίαν πλεῦσαι ἐπὶ συμμαχίαν τοῖς Δευκαλίωνος παισί, καὶ συνεκβαλεῖν ἐκ τῆς Θετταλίας τοὺς Πελασγούς, καὶ μερίσασθαι τὸ καλούμενον Δώτιον πεδίον. ἐν-ταῦθα δὲ τὸ τέμενος τῆς Δήμητρος ἐκκόψαντα τῇ [μὲν] ὕλῃ καταχρῆσθαι πρὸς βασιλείων κατασκευήνδι’ ἣν αἰτίαν ὑπὸ τῶν ἐγχωρίων μισηθέντα φυγεῖν ἐκ Θετταλίας, καὶ καταπλεῦσαι μετὰ τῶν συμπλευσάντων λαῶν εἰς τὴν Κνιδίαν, ἐν ᾗ κτίσαι τὸ καλούμενον ἀπ’ αὐτοῦ Τριόπιον. ἐντεῦθεν δ’ ὁρμώμενον τήν τε Χερρόνησον κατακτήσασθαι καὶ τῆς ὁμόρου Καρίας πολλήν. περὶ δὲ τοῦ γένους τοῦ Τριόπα πολλοὶ τῶν συγγραφέων καὶ ποιητῶν διαπεφωνήκασιν · οἱ μὲν γὰρ ἀναγράφουσιν αὐτὸν υἱὸν εἶναι Κανάχης τῆς Αἰόλου καὶ Ποσειδῶνος, οἱ δὲ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης τῆς Πηνειοῦ. |
| Source | F. Vogel (nach I. Bekker, L. Dindorf), Diodori bibliotheca historica, Bd. 2, Buch V-XII. |
| Source of translation | G. Wirth, O. Veh, Diodoros: Griechische Weltgeschichte, Bd. 1/II, Buch I-X. |
| Instances | Hom. Il. 2,681 |
| Descriptor | settlement history, sanctuary, genealogy |
| Coverage | Thessaly, Knidos |
| Ethnic Groups | Pelasgians |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |